# Παρακλητικός Κανών εις την Υπεραγίαν Θεοτόκον την Σουμελά



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψῃς τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ'. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ τὰ παρόντα Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῷ.
Ὡς καταφύγιον θερμόν, Θεοτόκε, πάντες οἱ Πόντιοι τήν σήν προστασίαν, κατέχοντες βοῶμεν σοί ἐκ βάθους ψυχῆς Σκέπε καί διάσωζε, ἀπό πάσης ἀνάγκης, πάντας τούς προστρέχοντας, τή σεπτή σου Εἰκόνι, ἐξ ἧς πηγάζει πάσι μυστικῶς, Σουμελιώτισοα, χάρις καί ἔλεος.

Δόξα. Καί νῦν. Ἀμήν. Ὅμοιον.
Ἐξ Ἀθηνῶν ἡ σή εἰκών παραδόξως, πάλαι μετήχθη Σουμελά εἰς τό ὄρος, νῦν δέ ἀρτίως Κόρη μετενήνεκται, πλοῦτος ὡς οὐράνιος, καί κειμήλιον μέγα, εἰς τό ὄρος Βέρμιον, Θεοτόκε Παρθένε, ἡ προσιόντες πίστει ἀληθεῖ, τήν πρός ἡμᾶς σου, κηρύττομεν πρόνοιαν.

Εἶτα ὁ Ψαλμὸς Ν΄ (50)
Ἐλέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου ἐπί πλεῖον πλῦνον μέ ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισον μέ. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διαπαντός. Σοί μόνω ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα, ὅπως ἄν δικαιωθῆς ἐν τοῖς λόγοις σου, καί νικήσης ἐν τῷ κρίνεσθαι σέ. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησε μέ ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας, τά ἄδηλα καί τά κρύφια της σοφίας σου ἐδήλωσας μοί. Ραντιεῖς μέ ὑσσώπω, καί καθαρισθήσομαι, πλυνεῖς μέ, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοί ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀποστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψης μέ ἀπό τοῦ προσώπου σου καί τό πνεῦμά σου τό ἅγιον μή ἀντανέλης ἄπ ἐμοῦ. Ἀπόδος μοί τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι

ἡγεμονικῷ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ρύσαι μέ ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τή εὐδοκία σου τήν Σιῶν, καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους.

Καί εὐθύς ψάλλεται ὁ Κανών οὗ ἡ ἀκροστιχίς
«Δέχου ἡμῶν τήν δέησιν Κόρη Γερασίμου»

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρᾶν διοδεύσας.
Δυνάμωσον Κόρη τό ἀσθενές, ἡμῶν τῆς καρδίας, τή ἰσχΰϊ τή θαυμαστή, τή ἐκ τῆς ἁγίας σου Εἰκόνος, ἀναβλυζούση Ἁγνή Σουμελιώτισσα.

Ἐτύπωσε πάλαι νεύσει τή σή, Λουκᾶς ὁ Θεοφρων, τήν Εἰκόνα σου τήν σεπτήν, ἥν πέρ ἐνδιαίτημα εἰργάσω, Θεογεννῆτορ τῆς σῆς ἀγαθότητος.

Χαρίτων πηγάζουσα δωρεᾶς, ἡ θεία Εἰκών σου, Σουμελιώτισσα Μαριάμ, ἐν τή σή Μονή τή ἐν Βερμίω, ἐναπετέθη ἡμᾶς ἁγιάζουσα.

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, Κεχαριτωμένη, Σουμελιώτισσα Μαριάμ, λύσον τῶν παθῶν μου τήν ὁμίχλην, μαρμαρυγαῖς τῆς σῆς χάριτος Ἄχραντε.

ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος
Ὑπέρ φύσιν μετήχθη, ἐξ Ἀθηνῶν Δέσποινα, τή σή εὐδοκία Εἰκών σου, ἡ χαριτόβρυτος, καί ἐπεδήμησε, τοῖς ἐν τῷ Πόντω οἰκούσιν, ὡς πηγή Ἀκένωτος, θείας χρηστότητος.

Ἡγιάσθη ὁ Πόντος, ὡς ἀληθῶς Ἄχραντε, πάλαι ἐπελεύσει τῆς θείας, Ἁγνή Εἰκόνος σου, νῦν δέ τό Βέρμιον, καί ἡ περίοικος πάσα, χαρμονῆς πεπλήρωνται, ταύτην κατέχοντες.

Μητροπάρθενε Κόρη, τῶν εὐσεβῶν στήριγμα, ἴδε μητρική συμπαθεία, τούς πίστει σπεύδοντας, ἐν τή Εἰκόνι σου, καί τάς αἰτήσεις ἁπάντων, πλήρου Σουμελιώτισσα, ἐκδυσωποῦμεν σέ.

Ὡς ἐρρύσω τό πάλαι, τόν εὐσεβῆ ἄνακτα, ὄντως χαλεποῦ ναυαγί. οὗ, οὕτω

διάσωζε, ἡμᾶς δεόμεθα, ἐκ συμφορῶν καί κινδύνων, καί πάσης κακώσεως, Παρθένε Ἄχραντε.

Διάσωζε Σουμελιώτισσα Κόρη Θεογεννῆτορ, πάσης βλάβης καί πειρασμῶν τέ καί θλίψεων, τούς ἀδιστάκτω καρδία σοί προσιόντας.

Ἐπιβλεψον, ἐν εὐμενεία πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Κάθισμα. Ἦχος β΄. Πρεσβεία Θερμή.
Πρεσβεία τή σή, προστρέχοντες ἑκάστοτε, ἐκ πάσης ὀργῆς, καί θλίψεως λυτρούμεθα, Παρθένε Σουμελιώτισσα, καί χαρᾶς καί εἰρήνης πληρούμεθα σύ γάρ παρέχεις τοῖς πάσιν ἀεί, τῶν σῶν ἀντιλήψεων τάς χάριτας.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.
Ναόν θεῖόν σου ἤγειραν, Κόρη ἐν Βερμίω ἔνθα ἀπέθεντο, τήν ὑπέρτιμον Εἰκόνα σου, ὡς ἁγιαστήριον σωτήριον.

Τόν Θεόν σωματώσασα, πάσης ἀσθενείας ψυχῆς καί σώματος, Θεοτόκε ἀπολύτρωσαι, τούς εἰλικρινῶς σέ μεγαλύνοντας.

Ἡ Εἰκών σου ἡ παντιμος, ἧκεν ἐκ τοῦ Πόντου τή εὐδοκία σου, Σουμελιώτισσα Παντάνασσα, καί παρέχει χάριν ἡμίν ἄφθονον.

Νοσημάτων καί θλίψεων, καί πολυειδῶν ἡμᾶς περιστάσεων, ἀσινεῖς Κόρη διάσωζε, τούς ὑπό τήν σκέπην σου προστρέχοντας.

ᾨδὴ ἐ΄. Φώτισον ἡμᾶς.
Δόξης τοῦ Πατρός, τό ἀπαύγασμα κυήσασα, τῆς σῆς δόξης στήλην ἔδειξας ἡμίν, τίν Εἰκόνα σου Παρθένε Σουμελιώτισσα.

Εἶχε μέν τό πρίν, Σουμελά τό ὄρος Ἄχραντε, τήν Εἰκόνα σου ὡς θεῖον θησαυρόν, νῦν τό Βέρμιον κατέχον ταύτην γάνυται.

Ἥλιον Χριστόν, μετά σώματος κυήσασα, ταῖς ἀκτίσι τῆς θερμῆς σου ἀρωγῆς, τῶν παθῶν ἡμῶν Ἁγνή τόν ζόφον δίωξον.

Σκέπη ἀσφαλής, τῆς Ἑλλάδος ἔσο πάντοτε, ὡς τόν Πόντον πάλαι ἔσκεπες Ἁγνή Σουμελιώτισσα τή θεία προστασία σουυ.

Ὠδὴ στ΄. Τήν δέησιν.
Ἰλέω βλέμματι βλέψον Παρθένε, τούς ἐκ πάσης προσελθόντας Ἑλλάδος, τή ἐν Βερμίω ἁγία Μονή σου, καί προσκυνοῦντας τήν θείαν Εἰκόνα σου, καί δίδου ταύτοις συμπαθῶς, αἰτημάτων ἁπάντων τήν πλήρωσιν.

Ναόν σοί, αἵ τῶν Ποντίων χορεῖαι, καί Μονήν ἐν τῷ Βερμίω τῷ ὄρει, ἀνωκοδόμησαν πίστει Παρθένε, καί τήν σεπτήν σου Εἰκόνα ἀπέθεντο, ἤ προσιόντες εὐλαβῶς, κατανύξεως χέομεν δάκρυα.

Κινδύνων, ὥσπερ τό πάλαι ἐρρύου, Θεοτόκε τῶν Ποντίων τήν χώραν, οὕτω καί νῦν συμφορῶν ἀνηκέστων, Μακεδονίαν ἀπάλλαττε Δέσποινα, τή κραταιά σου ἀρωγή, καί Ἑλλάδα Παρθένε τήν σύμπασαν.

Οἱ νόσοις, κατατρυχόμενοι πλείσταις, καί πικροῖς περιστατούμενοι πόνοις, τή θαυμαστή της Παρθένου Εἰκόνι, πανευλαβῶς καταφύγωμεν κράζοντες Σουμελιώτισσα Ἁγνή, τάς ὀδύνας ἡμῶν ἀνακούφισον.

Διάσωζε Σουμελιώτισσα Κόρη Θεογεννῆτορ, πάσης βλάβης καί πειρασμῶν τέ καί θλίψεων, τούς ἀδιστάκτω καρδία σοί προσιόντας.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἥμερων τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Αἴτησις καὶ το Κοντάκιον
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Τήν κραταιάν προστασίαν σου Ἄχραντε, ὡς ὀχυρώτατον τεῖχος κατέχοντες, ἐχθροῦ τάς ὁρμᾶς ἀποτρέπομεν, καί οὐρανίου γαλήνης πληρούμεθα, ὑμνοῦντες Παρθένε τήν δόξαν σου.

Προκείμενον
Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάση γενεά καί γενεά. (Δίς)
Στίχ. Ἄκουσον, Θύγατερ, καί ἴδε, καί κλῖνον τό οὖς σου, καί ἐπιλάθου τοῦ λαοῦ σου, καί τοῦ οἴκου τοῦ πατρός σου, καί ἐπιθυμήσει ὁ Βασιλεύς τοῦ κάλλους σου.
Τοῦ ὀνόματός σου μνησθήσομαι, ἐν πάση γενεά καί γενεά.

Ἐκ τοῦ κατά Λουκᾶν. Εὐαγγέλιον (Κέφ. Ἅ΄ 39-49, 56).
Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστάσα Μαριάμ, ἐπορεύθη εἰς τήν ὀρεινήν μετά σπουδῆς, εἰς πόλιν Ἰούδα, καί εἰσῆλθεν εἰς τόν οἶκον Ζαχαρίου, καί ἠσπάσατο τήν Ἐλισάβετ. Καί ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τόν ἀσπασμόν τῆς Μαρίας,

ἐσκίρτησε τό βρέφος ἐν τή κοιλία Αὐτῆς καί ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καί ἀνεφώνησε φωνή μεγάλη καί εἶπεν Εὐλογημένη Σύ ἐν γυναιξί, καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας Σου. Καί πόθεν μοί τοῦτο, ἵνα ἔλθη ἡ μήτηρ τοῦ Κυρίου μου πρός μέ; Ἰδού γάρ, ὡς ἐγένετο ἡ φωνή τοῦ ἀσπασμοῦ Σου είς τά ὠτά μου, ἐσκίρτησε τό βρέφος ἐν ἀγαλλιάσει ἐν τή κοιλία μου. Καί μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτή παρά Κυρίου. Καί εἶπε Μαριάμ Μεγαλύνει ἡ ψυχή μου τόν Κύριον, καί ἠγαλλίασε τό πνεῦμά μου ἐπί τῷ Θεῷ τῷ Σωτήρί μου.Ὅτι ἐπέβλεψεν ἐπί τήν ταπείνωσιν τῆς δούλης Αὐτοῦ ἰδού γάρ ἀπό τοῦ νῦν μακαριούσι μέ πᾶσαι αἵ γενεαί. Ὅτι ἐποίησε μοί μεγαλεία ὁ Δυνατός, καί γιόν τό ὄνομα Αὐτοῦ. Ἔμεινε δέ Μαριάμ σύν αὐτή ὡσεί μήνας τρεῖς, καί ἐπέστρεψεν είς τόν οἶκον αὐτῆς.

Δόξα.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καί νῦν.
Ταῖς τῆς Παναχράντου, πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησον μέ ὁ Θεός...
Προσόμοιον
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι
Στάμνος ὡς χρυσήλατος, ἡ σή Εἰκών καθορᾶται, ὥσπερ μάννα φέρουσα, γλυκασμόν τόν αὖλον τῆς σῆς χάριτος ἡ πιστῶς σπεύδοντες, πάσης δυσχερείας, τήν πικρίαν ἀποβάλλομεν, καί πάσης θλίψεως, καί ἀσθενειῶν ἐκλυτρούμεθα, κηρύττοντες Πανάμωμε, τά ὑπερφυή μεγαλειά σου σύ γάρ ἐν τῷ Πόντω, καί ἤδη ἐν Βερμίω χορηγεῖς, Σουμελιώτισσα Δέσποινα, τάς εὐεργεσίας σου.

Σῶσον ὁ Θεός τόν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Ράβδω Κόρη παιδείας, τόν δυνάστην λαλήσαντα ρῆμα βλάσφημον, κατά τῆς θεολέκτου, ἐπαίδευσας Μονῆς σου, ὅς γνωρίσας τήν δόξαν σου, ἀνακηρύττει τήν σήν, ἐν δώροις δυναστείαν.

Ἡ σωτήριος χάρις, πανταχοῦ Θεοτόκε διαβεβόηται, τῆς θείας σου Εἰκόνος διό καί ἐν Βερμίω, οἱ πιστοί καταφεύγοντες, λαμβάνουσιν ἐξ αὐτῆς, σωτηριώδεις

δόσεις.

Γόνυ κλίνοντες Κόρη, τῶν Ποντίων τά πλήθη πρό τῆς Εἰκόνος σου, ἐν δάκρυσι βοωσι Μή δώης ἀπολέσθαι, τόν λαόν σου Πανύμνητε ὅτι πίκρων ἐτασμῶν, διήλθομεν τήν φλόγα.

Ἔθ καί πόρρω Παρθένε, τῆς πατρώας γεγόναμε γής οἱ τάλανες, ἀλλά τήν σήν Εἰκόνα, πλουτοῦντες προστασίαν, καί γλυκείαν ἀντίληψιν, οἱ τῶν Ποντίων χοροί, προστρέχομεν σοί πίστει.

ᾨδὴ η´. Τόν Βασιλέα.
Ρῶσιν παρέχει, κατά ψυχήν τέ καί σῶμα, καί τήν ἄνωθεν παραμυθίαν Κόρη, τοῖς ἐν θλίψει οὖσιν, Εἰκών σου ἡ ἅγια.

Ἀθῆναι πάλαι, τήν σήν κατεῖχον Εἰκόνα, καί ὁ Πόντος δέ ἐν ταύτη ἐκαυχάτο, νῦν Μακεδονία, φέρει αὐτήν ὡς γέρας.

Συντριψον Κόρη, τήν καθ’ ἡμῶν δυναστείαν, τοῦ ἀλάστορος δεινῶς φρυαττομένου, καί παρασχου πάσι εἰρήνην ἐν τῷ βίω.

Ἰάσεις νέμει, Σουμελιώτισσα Κόρη, τή σή χάριτι Εἰκών σου ἡ ἅγια ὅθεν ἴασαι μέ, κατά ψυχήν καί σῶμα.

ᾨδὴ θ´. Κυρίως Θεοτόκον.
Μητράνανδρε Παρθένε, πάσης δυσπραγίας, τόν περιούσιον κλῆρόν σου λύτρωσαι, ὡς κραταιά προστασία ἡμῶν καί ἔφορος.

Οὐδόλως Θεοτόκε, οἱ Ποντίων δῆμοι, τήν προστασίαν τήν σήν σιωπήσομεν, ἀλλά τοῖς πάσιν εὐτόνως αὐτήν κηρύττομεν.

Ὑγείαν καί γαλήνην, δρέπονται Παρθένε, οἱ τή σεπτή σου Εἰκόνι προσπίπτοντες, καί πανταχοῦ τήν σήν δόξαν Κόρη κηρύττουσιν.

Ὑδάτων ζωηφόρων, βλύσον μοί σταγόνα, τῷ φλεγομένω τοῖς πάθεσιν Ἄχραντε, Σουμελιώτισσα Κόρη ψυχῆς μου στήριγμα.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον, καί Μητέρα τοῦ Θεοῦ ἡμῶν.Τήν τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον, σέ μεγαλύνομεν.

καὶ τὰ παρόντα Μεγαλυνάρια,
Ἧκεν ἐν τῷ Πόντω ἡ σή Εἰκών, ἐξ Ἀθηνῶν πάλαι, Θεομῆτορ ὑπερφυῶς, πάσιν ἐφαπλοῦσα, θαυμάτων ἐνεργείας, καί νέμουσα Παρθένε, χάριν ἀέναον.

Τόν κατατολμήσαντα ἀναιδῶς, συλῆσαι Παρθένε, τήν Εἰκόνα σου τήν σεπτήν, ἰτασμῶ ἐνδίκω, ἠνάλωσας σωφρόνως, παιδεύουσα τούς πάντας, πρός φόβον ἔνθεον.

Ἐν Βερμίω Κόρη ἡ σή Εἰκών, τῷ ἐκεῖ ναῶ σου, ἀπετέθη πανευλαβῶς, παρά τῶν Ποντίων, τῶν εὐσεβῶν Παρθένε, εὐσήμως κηρυττόντων, τά σᾶ θαυμάσια.

Ὥσπερ βασιλέα τόν εὐσεβῆ, ἔσωσας Παρθένε, ναυαγίου τοῦ χαλεποῦ, οὕτω ἡμᾶς σῶζε, τρικυμιῶν τοῦ βίου, τούς πόθω σέ ὑμνοῦντας, Σουμελιώτισσα.

Δίκη τή δίκαιη τιμωρηθεῖς, ὁ δυσσεβῆς ἄναξ, ὁ ὑβρίσας τήν σήν Μονήν, ὑμνητής ὤφθη, τῆς χάριτός σου Κόρη, λαβῶν τήν θεραπείαν, τή σή χρηστότητι.

Σκέπε τήν Ἑλλάδα πάσαν Ἁγνή ὡς τόν Πόντον πάλαι, περιέσκεπες θαυμαστῶς, τήν εἰσδεξαμένην, ὡς δώρημά σου μέγα, τήν θείαν σου Εἰκόνα, Σουμελιώτισσα.

Ἔιχε πρίν τό ὄρος τοῦ Σουμελᾶ, ὥσπερ θεῖον πλοῦτον, τήν Εἰκόνα σου τήν σεπτήν, νῦν δέ ταύτην Κόρη, τό Βέρμιον πλουτῆσαν, ἀγαλλιᾶται μέλπον, τά μεγαλεία σου.

Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγίοι πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἀναγνώστης. Ἀμήν. Ἅγιος ὁ Θεός, ἅγιος Ἰσχυρός, ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (τρίς).
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι, καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριά ἐλέησον ἠμᾶς, Κύρις ἱλάσθητι τάς ἁμαρτίας ἡμῶν, Δέσποτα συγχώρησον τάς ἀνομίας ἡμίν, Ἅγιε ἐπισκεψαι καί ἴασαι τά ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι, καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν

αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γής, τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σου ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Χορός. Ἀμήν.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Εἶτα τά κάτωθι Ἀπολυτίκια τῆς Ὑπεραγίας Θεοτόκου Σουμελιωτίσσης
Ἦχος ἅ΄. Τῆς ἐρήμου πολίτης
Σουμελά ἐκ τοῦ ὄρους τοῦ ἐν Πόντω Πανύμνητε, ἡ ἁγία Εἰκών σου ὥσπερ θεῖον κειμήλιον, εἰς Βέρμιον μετήχθη εὐλαβῶς, πηγάζουσα ἡμίν ἁγιασμόν ἡ προσπίπτοντες Παρθένε πανευσεβῶς, ἀπό ψυχῆς βοῶμεν σοί δόξα τή παρθενία σου Ἁγνή, δόξα τοῖς μεγαλείοις σου, δόξα τή πρός ἡμᾶς σου χρηστότητι Δέσποινα.

Δόξα. Καί νῦν. Ὂμοιον.

Ἦχος δ΄. Ταχύ προκατάλαβε.
Ἐκ Πόντου μετήγαγον, ἐκ τῆς ἐκεῖσε Μονῆς, τήν θείαν Εἰκόνα σου, ὡς

θησαυρόν ἀληθῆ, εἰς Βέρμιον Ἄχραντε ἡ πέρ ἐν εὐλαβεία, οἱ πιστοί προσιόντες, λαμβάνομεν πάσαν χάριν, Θεοτόκε βοῶντες  χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετά σου.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τα ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου
Πάντων εὐσεβούντων οἱ χοροί, καί τῶν Ὀρθοδόξων Ποντίων, ἅπαν τό σύστημα, πίστει προσκυνήσωμεν, τῆς Θεοτόκου Ἁγνῆς, τήν Εἰκόνα τήν πάνσεπτον, πρός αὐτήν βοῶντες Κόρη Σουμελιώτισσα, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, δέχου τάς ἡμῶν ἱκεσίας, καί τοῖς πάσι δίδου ἀπαύστως, τῶν σῶν ἀντιλήψεων τάς χάριτας.

Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Τήν πάσαν ἔλπιδά μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

Δί' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

Δίστιχον.
Δίδου Σουμελιώτισσα τώ Γερασίμω
Θείον Φωτισμόν και κατ΄άμφω υγείαν.